θεάτροις εἰσιών. Αγριοποιόν.] ἀγρίους εἰσάγοντα καὶ ὠμοὺς τοὺς ἥρωας. Απύλωτον στόμα.] Φρυνίχος, ἀθύρωτον. οἱ δὲ γραμματικοὶ, ἀπύλωτον, ἀντὶ τοῦ ἀνεῳγμένον καὶ πύλην μὴ ἔχον. μὴ χαλιναγωγούμενον μηδὲ κρα- A τούμενον. Απεριλάλητον.] ὅτι, οὐκ εἰδότα λαλεῖν. κομποφακελοῤῥήμονα δὲ βαρυῤῥήμονα σκληρὰ καὶ συνδεδεμένα ἔπη λέγοντα. φάκελοι γὰρ τὰ βαρέα καὶ συνδεδεμένα φορτία τῶν ξύλων.

Αἰ. Αληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ,
Σὺ δή με ταῦτ᾽ ὦ στωμυλιοσυλλεκτάδη,
Καὶ πτωχοποιὲ, καὶ ῥακιοσυῤῥαπτάδη.
Αλλ᾽ οὔτι χαίρων ταῦτ᾽ ἐρεῖς. Διόνυσος. παῦσ᾽ Αἰσχύλε, B
Καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.
Αἰ. Οὐ δῆτα, πρίν γ᾽ ἂν τοῦτον ἀποφήνω σαφῶς
Τὸν χωλοποιὸν, οἷος ὢν θρασύνεται.
Δι. Αρν᾽ ἄρνα μέλαιναν παῖδες ἐξενέγκατε. C
Τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.
Αἰ. Ω Κρητικὰς μὲν συλλέγων μονῳδίας,
Γάμους δ᾽ ἀνοσίους εἰσφέρων εἰς τὴν τέχνην.
Δι. Επίσχες οὗτος, ὦ πολυτίμητ᾽ Αἰσχύλε,
Απὸ τῶν χαλαζῶν, ὦ πόνηρ᾽ Εὐριπίδη,
Απαγε σεαυτὸν ἐκποδὼν, εἰ σωφρονεῖς,
Ινα μὴ κεφαλαίῳ τὸν κρόταφόν σου ῥήματι,
Θενὼν ὑπ᾽ ὀργῆς, ἐκχέῃ τὸν Τήλεφον.
Σὺ δὲ μὴ πρὸς ὀργὴν Αἰσχύλ᾽, ἀλλὰ πρᾳόνως D
Ελεγχ᾽ ἐλέγχου, λοιδορεῖσθαι δ᾽ οὐ πρέπει
Ανδρας ποιητὰς, ὥσπερ ἀρτοπώλιδας.
Σὺ δ᾽ εὐθὺς, ὥσπερ πρῖνος ἐμπρησθεὶς, βοᾷς.
Εὐ. Ετοιμός εἰμ᾽ ἔγωγε, κοὐκ ἀναδύομαι
Δάκνειν (δάκνεσθαι πρότερος εἰ τούτῳ δοκεῖ)
Τἄπη, τὰ μέλη, τὰ νεῦρα τῆς τραγῳδίας, E
Καὶ νὴ Δία, τὸν Πηλέα τε, καὶ τὸν Αἴολον,

*Verbis. ÆS. ita est, mi fili ruralis Deæ:*
*Tu equidem, tu blateramentorum inanium*
*Collector, tu fabricator mendicantium,*
*Tu pannosorum hominum consutor, hæc mihi*
*Obijcis: at faxo ego iam nunc, haud vt rideas.*
*BA. Pausa Æschyle, nec ad iram accendas viscera.*
*ÆS. Minimè, priusquàm hunc commonstrauero palam*
*Claudorum hominum fabrum, quàm sit ferocu- lus.*
*BA. Agnum huc, agnum efferte pueri nigrum ocyus,*
*Nam turbo verborum tentat prorumpere.*
*ÆS. O tu, qui Creticas facis monœdias,*
*Et nuptias in artes infers nefarias.*
*BA. Quæso abstine, mi præstantissime Æschyle,*
*A vocum grandinibus: tu miser Euripides,*
*Hinc temet amoue è conspectu, si sapis:*
*Ne iratus duriori verbo tibi caput*
*Feriat, & fracto cranio effundat Telephum.*
*Tu verò Æschyle, ne iracundè, sed leniter,*
*Refelle obiecta. non enim bonos decet*
*Poëtas, ceu pistorum vxores, inuicem*
*Conuitiari. tu velut ilex clamitas,*
*Quæ igni crepitat. EVRIP. nulla in me mora, neque abnuo*
*Mordere (siquidem huic priori morderi lubet)*
*Numeros, modos & neruos in Tragœdia:*
*Et per Iouem, Pelea meum, & meum Æolum,*

Σχόλια. Αληθες ὦ παῖ.] ἐν ἐρωτήσει. ἀντὶ ὄντως δὴ σύ. ὅτι δὲ λαχανοπώλιδος υἱὸς ἦν ὁ Εὐριπίδης, Αλέξανδρός φησιν. εἴρηται δὲ ὁ στίχος παρὰ τῷ Εὐριπίδῃ. ἀληθες ὦ παῖ τῆς θαλασσίας θεοῦ. βαρυτονητέον δὲ τὸ ἀληθες. ἀρουραίας δὲ διότι τὰ λάχανα ἐκ τῆς γῆς φύεται. Πτωχοποιέ.] ὁ τὸν Τήλεφον τὸν βασιλέα Μυσῶν πτωχὸν ποιήσας. στωμυλιοσυλλεκτάδη δὲ ὁ πολυλογίας συνάγων. ῥακιοσυῤῥαπτάδη δὲ, ὁ τὰ ῥάκη συῤῥάπτων καὶ ἐνδύων τοὺς βασιλεῖς. ἢ ὁ τὰ τῶν ἄλλων ποιητῶν συλλέγων καὶ οἰκεῖα ἑαυτοῦ λογιζόμενος. F

Bisetvs. Στωμυλιοσυλλεκτάδη] Σ. στωμύλα ῥήματα συλλέγων.

Σχόλια. Σπλάγχνα θερμήνῃς.] θυμὸς γάρ ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος, δι᾽ ὄρεξιν ἀντιλυπήσεως κινουμένου. ἡ ὀργὴ ἐναρχομένη. κότος δὲ ὀργὴ ἐπιτηροῦσα. μῆνις δὲ ὀργὴ εἰς παλαίωσιν ἀποτιθεμένη. χόλος δὲ ὀργὴ διοιδοῦσα. ὀργὴ δὲ ἐπιθυμία τιμωρίας τοῦ ἠδικηκέναι δοκοῦντος. ἡ λύπη μεθ᾽ ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι. G Τὸν χωλοποιόν.] διὰ τοὺς τρεῖς. Βελλεροφόντην. Φιλοκτήτην. Τήλεφον. Αρν᾽ ἄρνα μέλαιναν.] ὡς τοιαύτης γινομένης θυσίας τῷ Τυφῶνι, ἐν τῷ λῆξαι τὰς καταιγίδας. Τυφὼς γὰρ ἐκβαίνειν] ὅτι ἀθρόως ἐκβαίνειν μέλλει. τοὺς δὲ καταιγιδώδεις ἀνέμους, τυφῶς καλοῦσι. τούτῳ ἐνόμιζον μέλανα ἄρνα σφαγιάζειν, ὅπως λήξῃ τὸ πνεῦμα, εἰς τὸν Αἰσχύλον δὲ τοῦτο. Ω κρητικὰς μέν.] ἐν γὰρ τοῖς Κρησὶν, Ικαρον μονῳδοῦντα ἐποίησε. οἱ μὲν εἰς τὴν Ικάρου μονῳδίαν ἐν τοῖς Κρησί. θρασύτερον γὰρ δοκεῖ εἶναι τὸ πρόσωπον. Απολλώνιος δὲ, ὅτι δύναται καὶ εἰς τὴν Αερόπην, τὴν ἐν ταῖς Κρήσσαις εἰρῆσθαι. ἣν εἰσήγαγε πορνεύουσαν. οἶμαι δὲ διὰ τὰ ἐν τῷ Αἰόλῳ. Τιμαχίδας δὲ, διὰ τὴν ἐν τοῖς Κρησὶ μῖξιν Πασιφάης πρὸς τὸν ταῦρον. ἄλλως. ἐκ τῶν ἐν τῷ Αἰόλῳ Κανάκης καὶ Μακαρέως ἢ ὥς τινες Δανάης καὶ Μεγαρέως τῶν ἀδελφῶν. ἐδόκει γὰρ τοῖς παλαιοῖς πάνυ ἐναγὲς εἶναι ταῖς ἀδελφαῖς μίγνυσθαι. ἢ ὅτι ἡ Φαίδρα ἧς τὸ πάθος ἐδραματούργησε Κρῆσσα ἦν. καὶ γάμους ἀνοσίους λέγει διὰ τὸ αὐτὴν ἐρασθῆναι μὲν Ιππολύτου. ὃν ὁ Θησεὺς ἐξ Ιππολύτης ἔσχε μιᾶς τῶν Αμαζόνων. μὴ δυνηθεῖσαν δὲ τελέσαι τὸν ἔρωτα διὰ τὴν Ιππολύτου σωφροσύνην ἀγχόνῃ χρήσασθαι. Ινα μὴ κεφαλαίῳ.] ἀντὶ τοῦ ἀδροῦ. ἐν νεφέλαις, κεφάλαιον τῆς ῥαφανίδος. οὐδ᾽ ἐλέσθαι δειπνοῦντ᾽ ἔξην, κεφάλαιον τῆς ῥαφανίδος.

Bisetvs. Κεφαλαίῳ] ὅνους ὅδε. μὴ τὸν σὸν κρόταφον ῥήματι ὡς κεφαλαίῳ ῥαφανίδος, ἤγουν μεγάλῳ, τοῦ κεφαλαίου τῆς ῥαφανίδος δίκην, ὑπ᾽ ὀργῆς θένων, καὶ τύπτων ἐκχέῃ τὸν Τήλεφον. τουτέστι σὲ νικῶν, καὶ τὸ σοῦ δρᾶμα κακὸν, καὶ ἀποβλητέον εἶναι δείξῃ.

Σχόλια.